τοὺς ταύτην πλέοντας, τοὺς μὲν ὑπὸ κυμάτων βαπτιζομένους, τοὺς δὲ ὑφάλοις προσαράσσοντας, ἄλλους δὲ ἑτέρωθι μὲν σπεύδοντας, ἑτέρωθι δὲ ἀγομένους, ὥσπερ δεσμίους τῇ τοῦ πνεύματος ῥύμῃ, καὶ πολλοὺς μὲν ὑποβρυχίους γινομένους, ἐνίους δὲ ἐπὶ σανίδος μιᾶς ἢ ἐπί τινος τῶν ἀπὸ τοῦ πλοίου φερομένους καὶ τοὺς μὲν ἀντὶ πλοίου καὶ πηδαλίου ταῖς χερσὶν χρωμένους μόναις, ἄλλους δὲ νεκροὺς ἐπιπλέοντας, πολυειδῆ τινα καὶ πολυπρόσωπον συμφοράν· οὕτω δὴ καὶ ὁ Χριστῷ στρατευόμενος, τῆς ταραχῆς τοῦ βίου καὶ τῶν κυμάτων ἑαυτὸν ὑπεξαγαγὼν καθῆται μὲν ἐν ἀσφαλεῖ καὶ ὑψηλῷ χωρίῳ. Τί γὰρ ἀσφαλέστερον καὶ ὑψηλότερον τοῦ μίαν ἔχειν φροντίδα, πῶς ἀρέσαι δεῖ θεῷ ;

Εἶδες, Θεόδωρε, τὰ ναυάγια τῶν ταύτην τὴν θάλατταν πλεόντων· διό, παρακαλῶ, φεῦγε τὸ πέλαγος, φεῦγε τὰ κύματα, καὶ ὑψηλὸν κατάλαβε χωρίον, ὅθεν οὐκ ἔστιν ἁλῶναι. Ἀνάστασις ἔστιν, Θεόδωρε, κρίσις ἔστιν, φοβερὸν κριτήριον ἡμᾶς ἐνθένδε ἐξελθόντας μένει. « Πάντας ἡμᾶς παραστῆναι δεῖ τῷ βήματι τοῦ Χριστοῦ ». Οὐ μάτην ἠπείληται γέεννα, οὐκ εἰκῇ τοσαῦτα ἡτοίμασται ἀγαθά. Σκιά, καὶ σκιᾶς οὐδαμινέστερα τοῦ βίου τὰ πράγματα, πολλῶν μὲν γέμοντα φόβων, πολλῶν δὲ κινδύνων, ἐσχατῆς δὲ καὶ † δουλείας. Μὴ δὴ ζημιω-